# Aristotelés, *Metafysika* VII,8 / 1033a25-b19

*8. Vznikání a bytí tvaru. Tvar nevzniká ani neexistuje odloučeně*

To, co vzniká, vzniká něčím – tím | rozumím to, od čeho pochází počátek vzniku (*genesis*) – a z něčeho – čímž však nemůže být zbavenost, nýbrž látka, neboť jsme již vymezili, jak tomu rozumíme –, a vzniká něco určitého – tím je buď koule nebo kruh nebo cokoli jiného. Jako se tedy nevyrábí podklad, kov, tak ani koule,* leda | mimochodem, poněvadž kovová koule je právě koulí, jež se vyrábí. Neboť vyrábět, vytvářet toto zde znamená vůbec vytvářet z podmětu *toto zde*. Míním totiž, že vytvářet kulatý kov neznamená dělat kulatost nebo kouli, nýbrž něco jiného, totiž tento tvar v něčem jiném. Neboť kdyby se dělaly, | dělaly by se z něčeho jiného; to bylo totiž podkladem. Například, když se dělá kovová koule, děje se to tak, že se z *tohoto zde*, co je kovem, dělá *toto zde*, co je koulí. Kdyby se tedy vytvářelo i toto samo, vytvářelo by se zjevně zrovna tak a postup vznikání by postupoval bez omezení.*

Je tedy zřejmo, že ani tvar (*eidos*), anebo jak jinak je třeba zvát utvoření (*morfé*) smyslových věcí,* nevzniká, že nemá vznik právě tak, jako ho nemá bytnost; neboť <tvar> vzniká v jiném buď uměním, nebo přírodou, nebo schopností. Co se však vytváří, je kovová koule. Vytváří se totiž z kovu a z <tvaru> koule, | když se tvar vtiskuje do této určité látky; a to je pak kovová koule. Kdyby však byl vznik koule vůbec, muselo by tu vzniknout něco z něčeho. Neboť u toho, co vzniká, musí vždy být dělitelné, jedno musí být tímto a druhé tímto, míním jednak látku a jednak tvar. Jestliže se tedy koulí rozumí těleso, jehož povrch je od středu všude stejně vzdálen, je třeba rozlišovat, | v čem se vytváří to, co se vytváří, za druhé to, co se na onom vytváří, a za třetí celek, to, co vzniklo, totiž kovová koule.

Z toho tedy, co bylo řečeno, je zřejmo, že to, co se nazývá podstatou ve smyslu tvaru (*eidos*), nevzniká,* ale že vzniká sjednocení (*synodos*), jež dostává podle ní jméno, a že ve všem, co vzniká, je látka, i je jedno tím <tj. látkou>, druhé zase tím <tj. tvarem>.

---

**8** Ἐπεὶ δὲ ὑπό τινός τε γίγνεται τὸ γιγνόμενον (τοῦτο δὲ λέγω ὅθεν ἡ ἀρχὴ τῆς γενέσεώς ἐστι) καὶ ἔκ τινος (ἔστω δὲ μὴ ἡ στέρησις τοῦτο ἀλλ' ἡ ὕλη· ἤδη γὰρ διώρισται ὃν τρόπον τοῦτο λέγομεν) καὶ τὶ γίγνεται (τοῦτο δ' ἐστὶν ἢ σφαῖρα ἢ κύκλος ἢ ὅ τι ἔτυχε τῶν ἄλλων), ὥσπερ οὐδὲ τὸ ὑποκείμενον ποιεῖ, τὸν χαλκόν, οὕτως οὐδὲ τὴν σφαῖραν, εἰ μὴ κατὰ συμβεβηκὸς ὅτι ἡ χαλκῆ σφαῖρα σφαῖρά ἐστιν ἐκείνην δὲ ποιεῖ. τὸ γὰρ τόδε τι ποιεῖν ἐκ τοῦ ὅλως ὑποκειμένου τόδε τι ποιεῖν ἐστίν (λέγω δ' ὅτι τὸν χαλκὸν στρογγύλον ποιεῖν ἐστιν οὐ τὸ στρογγύλον ἢ τὴν σφαῖραν ποιεῖν ἀλλ' ἕτερόν τι, οἷον τὸ εἶδος τοῦτο ἐν ἄλλῳ· εἰ γὰρ ποιεῖ, ἔκ τινος ἂν ποιοίη ἄλλου, τοῦτο γὰρ ὑπέκειτο· οἷον ποιεῖ χαλκῆν σφαῖραν, τοῦτο δὲ οὕτως ὅτι ἐκ τουδί, ὅ ἐστι χαλκός, τοδὶ ποιεῖ, ὅ ἐστι σφαῖρα)· εἰ οὖν καὶ τοῦτο ποιεῖ αὐτό, δῆλον ὅτι ὡσαύτως ποιήσει, καὶ βαδιοῦνται αἱ γενέσεις εἰς ἄπειρον. φανερὸν ἄρα ὅτι οὐδὲ τὸ εἶδος, ἢ ὁτιδήποτε χρὴ καλεῖν τὴν ἐν τῷ αἰσθητῷ μορφήν, οὐ γίγνεται, οὐδ' ἔστιν αὐτοῦ γένεσις, οὐδὲ τὸ τί ἦν εἶναι (τοῦτο γάρ ἐστιν ὃ ἐν ἄλλῳ γίγνεται ἢ ὑπὸ τέχνης ἢ ὑπὸ φύσεως ἢ δυνάμεως). τὸ δὲ χαλκῆν σφαῖραν εἶναι ποιεῖ· ποιεῖ γὰρ ἐκ χαλκοῦ καὶ σφαίρας· εἰς τοδὶ γὰρ τὸ εἶδος ποιεῖ, καὶ ἔστι τοῦτο σφαῖρα χαλκῆ. τοῦ δὲ σφαίρᾳ εἶναι ὅλως εἰ ἔσται γένεσις, ἔκ τινος τὶ ἔσται. δεήσει γὰρ διαιρετὸν εἶναι ἀεὶ τὸ γιγνόμενον, καὶ εἶναι τὸ μὲν τόδε τὸ δὲ τόδε, λέγω δ' ὅτι τὸ μὲν ὕλην τὸ δὲ εἶδος. εἰ δή ἐστι σφαῖρα τὸ ἐκ τοῦ μέσου σχῆμα ἴσον, τούτου τὸ μὲν ἐν ᾧ ἔσται ὃ ποιεῖ, τὸ δ' ἐν ἐκείνῳ, τὸ δὲ ἅπαν τὸ γεγονός, οἷον ἡ χαλκῆ σφαῖρα. φανερὸν δὴ ἐκ τῶν εἰρημένων ὅτι τὸ μὲν ὡς εἶδος ἢ οὐσία λεγόμενον οὐ γίγνεται, ἡ δὲ σύνολος ἡ κατὰ ταύτην λεγομένη γίγνεται, καὶ ὅτι ἐν παντὶ τῷ γεννωμένῳ ὕλη ἔνεστι, καὶ ἔστι τὸ μὲν τόδε τὸ δὲ τόδε.